Πι. Παῦσαι μελῳδῶν· ἀλλ' ὅ, τι λέγεις εἰπέ μοι.
Κι. Ὑπὸ σοῦ πτερωθεὶς, βούλομαι μετάρσιος
Ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν
Ἀεροδινήτους καὶ νιφοβόλους ἀναβολάς.
Πει. Ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι;
Κι. Κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη.
Τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίνεται.
Ἀέρια καὶ σκότιά γε καὶ κυαναυγέα.
Καὶ πτεροδόνητα. σὺ δὲ κλύων, εἴσει τάχα.
Πει. Οὐ δῆτ' ἔγωγε. Κι. νὴ τὸν Ἡρακλέα σύ γε.
Ἅπαντα γὰρ δίειμί σοι τὸν ἀέρα.
Εἴδωλα πετηνῶν αἰθεροδρόμων.
Οἰωνῶν ταναοδείρων.
Πει. Ὠόπ. Κι. τὸν ἁλάδρομον ἁλάμενος
Ἅμ' ἀνέμων πνοιαῖσι βαίην.
Πει. Νὴ Δί' ἐγώ σου καταπαύσω τὰς πνοάς.
Κι. Τοτὲ μὲν, νοτίαν στείχων πρὸς ὁδόν.
Τοτὲ δ' αὖ βορέᾳ σῶμα πελάζων.
Ἀλίμενον αἰθέρος αὔλακα τέμνων.
Χαρίεντά γ' ὦ πρεσβῦτ' ἐσοφίσω καὶ σοφά.
Πι. Οὐ γὰρ σὺ χαίρεις πτεροδόνητος γενόμενος;
Κι. Ταυτὶ πεποίηκας τὸν κυκλιοδιδάσκαλον.
Ὃς ταῖσι φυλαῖς περιμάχητός εἰμ' ἀεί;
Πι. Βούλει διδάσκειν καὶ παρ' ἡμῖν οὖν μένων,
Λεωτροφίδῃ χορὸν πετομένων ὀρνέων;
Κεκροπίδα φυλήν. Κι. καταγελᾷς μου δῆλος εἶ.
Ἀλλ' οὖν ἔγωγ' οὐ παύσομαι τοῦτ' ἴσθ' ὅτι,
Πρὶν ἂν πτερωθεὶς διαδράμω τὸν ἀέρα.

A PI. *Cessa cantans, sed quodcunque dicis, dic mihi.*
CI. *A te alatus, volo altius*
*Supra volans, ex nebulis nouas capere*
*Aere motas, niue tactas scalas.*
PI. *Ex nebulis enim aliquis scalas capiat.*
*Suspenditur quidem igitur nobis ars.*
*Dithyramborum enim splendida fiunt*
B *Aeria & tenebrosa, & nigrè splendentia,*
*Et alis mota: tu autem audiens scies citò.*
PI. *Non certè ego.* CI. *Per Herculem tu.*
*Omnem enim narro tibi aerem,*
*Simulacra volatilium æthere currentium,*
*Auium extensarum collo.*
PI. *Oop.* CI. *Marinum cursum errans,*
*Cum ventorum flatibus irem.*
PI. *Per Iouem ego tui sedabo flatus.*
C CI. *Aliquando australem iens ad viam,*
*Aliquando autem rursus Boreæ corpus appropinquans,*
*Marinum ætheris sulcum scindens:*
*Gratiosa ô senex, sapiuisti & sapientia.*
PI. *Non enim tu gaudes ala mobilis factus.*
CI. *Hæc fecisti circulari præceptori,*
*Qui generationibus pugnator sum semper.*
D PI. *Vis docere & apud nos igitur manens,*
*Leotrophide chorum volantium auium*
*Cecropidam tribum?* CI. *Derides me, manifestus es.*
*Sed igitur ego non cessabo: hoc scias, quòd*
*Ante alatus discurri aerem.*

Σχόλια. Παῦσαι μελῳδῶν.] εἴσθεσις περιόδου ἀμοιβαίας στίχων καὶ κώλων κη'. ὧν οἱ μὲν πρῶτοι ια', ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὰ ἑξῆς ὀκτὼ κῶλα ἀναπαιστικὰ ἐπιμεμιγμένα χορείοις ἢ τριβράχεσι καὶ προκελευσματικοῖς ἤτοι τετραβράχεσιν. ὧν τὰ δ'. δίμετρα ἀκατάληκτα. τὸ ε' τρίμετρον βραχυκατάληκτον. τὰ δὲ ἑξῆς τρία δίμετρα ἀκατάληκτα. οἱ ἑξῆς δὲ τούτων θ'. στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει κορωνίς. Ὑπὸ σοῦ πτερωθείς.] βούλομαί φησι πτερωθῆναι ὑπὸ σοῦ, ἵνα διὰ τοῦ ἀέρος πετάμενος, ἐξεύρω εἰς τὰ προοίμια λέξεις νιφοβόλους, καὶ ἀεροδινήτους. παίζει δὲ πρὸς τὰ ποιήματα τῶν διθυραμβοποιῶν. ἔθος γὰρ αὐτοῖς τοιαῦτα ἐπίθετα λέγειν. ἅμα δὲ καὶ πρὸς τὸ κοῦφον αὐτῶν. Κρέμαται μὲν οὖν.] ἐστὶν ὕλη κατὰ τῶν ποιημάτων ἡμῶν, ἡ τῶν νεφελῶν σύστασις. Καὶ πτεροδόνητα.] ἀντὶ τοῦ ταχέα. ταῦτα δὲ συμβαίνει τῷ ἀέρι. ὅθεν φησὶ τὰς λέξεις αὐτοῦ θηρᾶσθαι. Ἅπαντα γὰρ δίειμί σοι.] πάντα γάρ σοι τὰ περὶ τοῦ ἀέρος διεξέρχομαι. πλείστη γὰρ αὐτῶν ἡ λέξις τοιαύτη. ὁ δὲ νοῦς ἐλάχιστος. ὡς ἡ παροιμία, καὶ διθυραμβοποιῶν νοῦν ἔχεις ἐλάττονα. Ὠόπ.] παρακελεύεται αὐτῷ παύσασθαι τοῦ ᾄδειν. ὡς οἱ ἐρέσσοντες. κέλευσμα γὰρ τῶν ἐρεσσόντων τὸ ὠόπ. κατάπαυσον τὴν κωπηλασίαν. Τὸν ἁλάδρομον.] τὸν εἰς ἅλα δρόμον. λείπει γὰρ ἡ εἰς. ἔνια δὲ τῇ συνθέσει ἀδιανόητα. ταῦτα δὲ οὐδὲ τοῖς λέξεσι σύνετα. χλευάζει δὲ τοὺς διθυραμβοποιούς.

Bisetus. ἁλάμενος] ἄλλομαι, τὸ πηδῶ. ὁ μέλλων, ἀλοῦμαι. ὁ δὲ ἀόριστος α. μ. ἡλάμην, ὅθεν ἡ μετοχὴ ἁλάμενος, ἀντὶ τοῦ πηδήσας.

Σχόλια. Καταπαύσω.] τοῦτο ἅμα λέγων ὁ Πεισθέταιρος παίει αὐτόν. Ἀλίμενον.] τὴν τέλος οὐκ ἔχουσαν, οὐδὲ ὅρμον, ἀπὸ μεταφορᾶς τῶν νεῶν. τρόπον γὰρ πελάγους δοκοῦσι διανήχεσθαι τὸν ἀέρα οἱ ὄρνις. Χαρίεντά γ' ὦ
E πρεσβῦτα.] ἔτι Κινησίας φησὶ τοῦτο πρὸς τὸν γέροντα τὸν Πεισθέταιρον τὸν τύψαντα αὐτόν. ἐπειδὴ κινεῖ αὐτὸν ὡς ἰσχνὸν τῷ σώματι. λέγει δὲ ὅτι χαριέντως ἐσοφίσω, ἵνα τῷ κινεῖσθαι δοκῇς ἔχειν πτερά. Πτεροδόνητος γενόμενος.] πτεροῖς πληχθείς. παίζει δὲ πρὸς τὰ εἰρημένα. Τὸν κυκλιοδιδάσκαλον.] ἀντὶ τοῦ διθυραμβοποιόν. εἴρηται δὲ ὅτι ἐγκύκλια διδάσκουσιν. Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασί φασι τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Λᾶσον τὸν Ἑρμιονέα, οἱ δὲ ἀρχαιότεροι Ἑλλάνικος
F καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον. Δικαίαρχος μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων. Ἑλλάνικος δὲ, ἐν τοῖς Κραναϊκοῖς. Ὡς ταῖσι φυλαῖς.] ἑκάστη γὰρ φυλὴ Διονύσου, τρέφει διθυραμβοποιόν. Λεωτροφίδῃ.] ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. ἢ καὶ οὗτος διθυραμβοποιὸς κοῦφος. φησὶν οὖν. βούλει τῷ Λεωτροφίδῃ τὴν Κεκροπίδα φυλὴν διδάσκειν. ἀπὸ γὰρ ταύτης ἦν Λεωτροφίδης. τινὲς δὲ ὅτι κοῦφος καὶ χλωρὸς ἦν, ὡς ἐοικέναι ὄρνιθι. Θεόπομπος δὲ ἐν τοῖς Καπηλίσι. Λεωτροφίδης ὁ τρίμετρος ὡς Λεόντινος. εὐχρὼς τε φαίνεσθαι καὶ χαρίεις ὥσπερ νε-
G κρός. ἄλλως. ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. καὶ ὁ Κινησίας δέ. Ἕρμιππος Κέρκωψιν. ἀνάπηρα γάρ σοι θύουσιν ἤδη βοΐδια, Λεωτροφίδου λεπτότερα καὶ Θουμαντίδου. θέλεις οὖν καὶ τῷ Λεωτροφίδῃ χορὸν ὀρνέων διδάξαι.